BISETVS. Ὅπως ἁγνεύσετε.] δηλονότι σκοπεῖτε, ὁρᾶτε. τὸ δὲ ἁγνεύειν ἐνταῦθα δηλοῖ τὸ ἑαυτοῦ ἁγνὸν παρέχειν, καὶ ἁγνῶς πάντα πράττειν. Κίσταις.] κίστη, καὶ κίστις, ἀγγεῖον ἐν ᾧ τὰ βρώματα κεῖται. ἢ ἱμάτιά τινα. τὸ τ ἀντὶ τοῦ θ. κίσθη γάρ. Σ. ἄπεισι δὲ, ἀπελεύσεται. Στρωμμάτων δὲ ποικιλῶν.] οὕτω καλεῖται τὰ πεποικιλμένα, τὰ κεκαλλωπισμένα, καὶ ζωγραφητὰ στρώμματα. Ἡσύχιος. χλανίδιον δὲ, λεπτὸν ἱμάτιον. ξυστὶς δὲ, γυναικεῖος ποδήρης χιτών. Καὶ χρυσίων.] χρυσίον ἑνικῶς ὁ χρυσός. χρυσία δὲ πληθυντικῶς ὅτε μὲν νομίσματα, ὅτε δὲ A σκεύη χρύσεια, εἴτε χρυσᾶ δηλοῖ. καὶ πάντα τὸν ἄλλον κόσμον ἐκ χρυσοῦ. σεσημάνθαι δὲ, ἐσφραγίσθαι. σημαίνει γὰρ τὸ σφραγίζειν. ῥύπους δὲ οἱ Ἀττικοὶ τὸν εἰς τὰς σφραγῖδας κηρὸν λέγουσιν. Ἡσύχιος.

CHR. Καλῶς λέγεται.] Legendum λέγετε vt sit pes Tribrarchus æquiparans Iambum. Cùm autem ait ἐν ταῖσι κίσταις puto allusionem fieri ad κύστιν. Τοὺς ῥύπους ἀνασπάσαι] Melius Veneta editio τύπους ἀνασπάσαι id est signa reuellere & dissoluere.

B

Ὑμῶν ὀξύτερον ἐμοῦ βλέπει.
Εἰ δέ τῳ μὴ σῖτος ὑμῶν ἐστι, βόσκει δ' οἰκέτας
Καὶ σμικρὰ πολλὰ παιδία,
Ἔστι παρ' ἐμοῦ λαβεῖν
Πυρίδια λεπτὰ μὲν,
Ὁ δ' ἄρτος ἀπὸ χοίνικος
C Ἰδεῖν μάλα νεανίας.
Ὅστις οὖν βούλεται
Τῶν πενήτων ἴτω
Εἰς ἐμοῦ, σάκους ἔχων καὶ κωρύκους. ὡς
Λήψεται πυρούς. ὁ Μανῆς δ' αὐτοῖς οὑμὸς ἐμβαλεῖ.
Πρός γε μέντοι τὴν θύραν
Προαγορεύω μὴ βαδίζειν τὴν ἐμὴν,
D Ἀλλ' εὐλαβεῖσθαι τὴν κύνα.

*Ni me fortè videt acutius:*
*Sin quis est vestrum farinas non habens, seruos alens*
*Et pusa plura pignora,*
*Accipiat hinc licet*
*Far tenue: Panis at*
*(Vt est ratio Chœnicis)*
*Erit valida magnitas:*
*Quisquis ergo expetet*
*Pauperum, me petat*
*Cum canistris sacciperijsq́;:*
*Auferet fruges meus quas metietur seruulus:*
*Hoc tamen denuntio,*
*Petere vt nemo postulet portam meam,*
*Sed si sapit, vitet canem.*

BISETVS. Πυρίδια.] ἀπὸ τοῦ πυροῦ τὸ ὑποκοριστικὸν πυρίδιον, ἤγουν σιτίον, ἢ τοῦ σίτου ψωμίδιον, τουτέστι μικρότατον μέρος τοῦ σίτου εἴτε ἄρτου. ἄρτος δὲ νεανίας νῦν μεταφορικῶς ὁ καρτερὸς, ἤγουν ὁ μέγας. οὕτω καὶ ἐν Πλούτῳ, κρέας νεανικὸν εἶπε τὸ μέγα, καὶ παχύ. Χοῖνιξ δὲ, ὡς Εὐστάθιός φησι σκεῦός τι μετρητικὸν, καὶ αὐτὸ τὸ μετρούμενον. ὅθεν καὶ ἐπὶ τροφῆς τίθεται, καὶ χοῖνιξ καλεῖται. πᾶν περιφερές. νῦν δὲ λέγει ἀπὸ χοίνικος, E ἐπεὶ, ὡς ἄνω ἐν τοῖς εἰς Σφῆκας σχολίοις δεδήλωται, εἰς τὴν χοίνικα τέσσαρες μεγάλοι ἄρτοι γίνονται, μικροὶ δὲ, ὀκτώ. Σάκους ἔχων.] τὸ σάκος, οὐδετέρως, ἀσπὶς, ὅπλον. σάκος δὲ ἀρσενικῶς δι' ἑνὸς κ, ὁ θύλακος. Σουΐδας. κώρυκος δὲ, πλέγμα δεκτικὸν ἄρτων. καὶ κωρύκιον, θυλάκιον, τὸ παρ' ἡμῖν βουλγίδιον. Ἡσύχιος δὲ, κώρυκος, θυλάκιον. ἔστι δέ, φησι, δερμάτινον ἀγγεῖον ὅμοιον ἀσκῷ. Ὁ Μανῆς.] ὁ ἐμὸς δοῦλος, ἢ θεράπων. προαγορεύω δὲ, ἀντὶ τοῦ πρωῒ, καὶ ἐν ὥρᾳ κελεύω, ἀπαγορεύω. εὐλαβεῖσθαι δὲ, εὐλαβῶς φυλάττεσθαι φεύγειν, ἐκκλίνειν.

CHR. Ἄρτος ἀπὸ χοίνικος.] Sic nos Gallo-Fräci dicimus *vn pain d'vn boisseau.* Chœnix Sextarij mensura est demensum diurnum, propterea dictum ἡμεροτροφίον. Apud Hesychium habes ἀπὸ μέρους τροφὴ, non dubitem emendare ἡμέρας τροφή. Quod autem panem νεανίαν vocat, puto esse νεανικὸν & sic grande vt saturare valeat νεανίαν, atque, vt ait Theocritus, ἄνδρα φυτοσκάφον. Τοὺς κωρύκους.] κώρυκος vel κωρύκιον, calathus est plectilis quo panis conditur, vt inde vernaculè dixerimus *Panier.* σάκος autem vel σάκκος, similis ferè θυλάκῳ. Ὁ Μανῆς.) Manes pro seruo vt habes in ludo Cottaborum de quibus nos abundè in Irena. At εὐλαβεῖσθαι τὴν κύνα dictum ex Prouerbio, Caue canem.

F

## ΘΕΡΑΠΩΝ, ΧΟΡΟΣ, Ἀθηναῖος, Λάκων.

## FAMVLVS, CHORVS, Atheniensis, Laco.

Θε. Ἄνοιγε τὴν θύραν. οὐ παραχωρεῖν θέλεις;
Ὑμεῖς τί κάθησθε; μῶν ἐγὼ τῇ λαμπάδι
Ὑμᾶς κατακαύσω. φορτικὸν τὸ χωρίον.
Οὐκ ἂν ποιήσαιμ'. εἰ δὲ πάνυ δεῖ τοῦτο δρᾶν,
Ὑμῖν χαρίζεσθαι προσταλαιπωρήσομεν.
Χο. Χ' ἡμεῖς γε μετὰ σοῦ ξυνταλαιπωρήσομεν.

*FAM. Reclude ianuam, an recusas cedere?*
G *Vos quid sedetis? an manetis dum face*
*Vos hic aduram? asperrimus sed est locus,*
*Nunquam istud ausim, sed tamen si opus siet,*
*Vestra adlaborem perlubenter gratia.*
*CH. Tecum labores hauriemus insimul.*